σου πλάσματος ὁ πεπλασμένος ποιητὴς τῷ ἀτελευτήτῳ
πυρὶ καὶ τῷ σκώληκι παραδίδοται· αὐτός τε, καὶ οἷς ὑπα-
κούειν καὶ ὑπηρετεῖν αὐτοῦ γνώμη γέγονε τῷ θελήματι. Ἀλ-
λ' ἐκείνῃ μὲν σὺν ἐκείνῳ τὴν δίκην ὑπέχουσιν. Ἀβραὰμ
δὲ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντες, οἷς διὰ νόμου θεοῦ
εὐαρέστησις, τῆς ἀτελευτήτου καὶ ἀνεκλαλήτου τρυφῆς
ἀπολαύουσι. Τί λέγεις ἄθλιε; Ὁ σὸς τῇ γλώττῃ δημιουρ-
γὸς πυρὸς γίνεται τροφή· οἱ δὲ περὶ τὸν Ἀβραὰμ πα-
ρὰ τοῦ ἀληθινοῦ θεοῦ τὰς οὐρανίους κληροῦνται σκηνάς;
Καὶ ~~καὶ~~ σὺ λέγεις ἀρχὴν αὐτῶν, ὃν τὸ ἐξώτερον συνέχει σκό-
τος; Ὁ σωτὴρ τοῦ κόσμου τὸν ἑαυτοῦ πατέρα θεὸν λέ-
γει ~~τοῦ~~ τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων πατριαρχῶν. Σὺ μὲν
τοῦτον ἐκβάλλεις τῆς ἀρχῆς, ἀντεισάγεις δὲ τὸν κατατη-
κόμενον τῷ πυρί, καὶ σέ, ἐὰν μὴ θᾶττον ἀνανήψας φύ-
γῃς τὴν πλάνην, ταῖς αὐταῖς συνυπάγοντα ποιναῖς.
Καὶ ~~καὶ~~ οἱ μὲν Ἰουδαῖοι ταῦτα λέγοντος τοῦ σωτῆρος ἐξεπλήτ-
τοντο, ναὶ δὴ καὶ τὸ τῶν Σαδδουκαίων ἀναιδὲς ἐπεφίμωτο·
σὺ δὲ οὐδ' οὕτω χαλινοῖς τὴν γλῶτταν, οὐδὲ τῶν λογισμῶν
ἀπορρίπτεις τὸ δυσσέβημα. Καὶ ~~καὶ~~ πῶς ἂν ἄλλως, ἢ πόθεν,
συγγνώμης σοι σταγών, ἢ κατὰ ποῖον καιρὸν ἐπιστα-
χθήσεται; Οὐδ' ~~οὐδ'~~ ἐκεῖνο δὲ δεήσει παραδραμεῖν. Τῶν Φα-
ρισαίων τις, δοκῶν τῶν ἄλλων τῇ τοῦ νόμου γνώσει προ-
έχειν, εἰς πεῖραν αὐτὸν καθίστησι τοῦ Ἰησοῦ, καὶ ἐπερωτᾷ, δι-
„ δάσκαλε, λέγων, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Καὶ ~~καὶ~~ ὅρα δι'
„ ὧν ἀμείβεται ὁ Ἰησοῦς· ὅπως ταῖς Μωσαϊκαῖς ἐντολαῖς καὶ τὸ
„ μεγαλεῖον ἐπιμαρτύρεται, καὶ τὸ θεοφιλές. Ἀγαπήσεις γάρ, φησι,
„ κύριον τὸν θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυ-
„ χῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. καὶ τοῦτο μὲν ἡ τοῦ νόμου

φω-